ἀνέπεμπε τῷ θεῷ τὴν εὐχήν, νῦν αὐτῷ τὸν θάνατον ἀθανασίας κρείττονα
λογίσασθαι φήσας, καὶ δὴ τὰ καθ' ἑαυτὸν διετάττετο, ' υἱοῖς θ' ἅμα καὶ θυ- 2
γατράσι συνταξάμενος χοροῦ δίκην αὐτὸν κυκλοῦσιν, ἐν αὐτοῖς βασιλείοις ἐπὶ
βασιλικῇ στρωμνῇ, τὸν κλῆρον τῆς βασιλείας νόμῳ φύσεως τῷ ⸢τῇ ἡλικίᾳ⸣
προάγοντι τῶν παίδων παραδούς, διανεπαύσατο.

Οὐ μὴν ἀβασίλευτος ἔμενεν ἡ ἀρχή, αὐτῇ δ' ἁλουργίδι πατρικῇ Κωνσταν- 22,1
τῖνος κοσμησάμενος τῶν πατρικῶν οἴκων προήει, ὥσπερ ἐξ ἀναβιώσεως τὸν
πατέρα βασιλεύοντα δι' ἑαυτοῦ δεικνὺς τοῖς πᾶσιν. εἶτα τῆς προκομιδῆς
ἡγούμενος σὺν τοῖς ἀμφ' αὐτὸν πατρικοῖς φίλοις τὸν πατέρα προὔπεμπε·
δήμων τε πλήθη μυρία στρατιωτῶν τε δορυφορίαι, τῶν μὲν ἡγουμένων τῶν
δὲ κατόπιν ἑπομένων, σὺν παντὶ κόσμῳ τὸν θεοφιλῆ συνέπεμπον, εὐφημίαις
τε καὶ ὕμνοις οἱ πάντες τὸν τρισμακάριον ἐτίμων, ὁμογνώμονί τε συμφωνίᾳ
τοῦ τεθνεῶτος ἀναβίωσιν τὴν τοῦ παιδὸς κράτησιν ἐδόξαζον, βοαῖς τ' εὐφή-
μοις τὸν νέον βασιλέα αὐτοκράτορα καὶ σεβαστὸν αὔγουστον εὐθέως ἐκ
19 πρώτης ἀνηγόρευον φωνῆς. καὶ τὸν μὲν τεθνηκότα ἐκόσμουν αἱ βοαὶ ταῖς 2
εἰς τὸν υἱὸν εὐφημίαις, τὸν δὲ παῖδα ἐμακάριζον τοιοῦδε πατρὸς διάδοχον
⸢ἀπο⸣ δειχθέντα, πάντα δὲ τὰ ὑπὸ τὴν ἀρχὴν ἔθνη εὐφροσύνης ἐπληροῦτο καὶ
ἀλέκτου χαρᾶς ὡς μηδὲ χρόνου βραχυτάτου ῥοπὴν χηρεύσαντα βασιλικῆς
εὐκοσμίας. τοῦτο τέλος εὐσεβοῦς καὶ φιλοθέου τρόπου ἐπὶ βασιλεῖ Κων-
σταντίῳ θεὸς ἔδειξε τῷ καθ' ἡμᾶς γένει.

Τῶν δ' ἄλλων, ὅσοι τὰς ἐκκλησίας τοῦ θεοῦ πολέμου νόμῳ μετῆλθον, 23
τὰς τοῦ βίου καταστροφὰς οὐκ εἶναι πρέπον ἔκρινα τῷ παρόντι παραδοῦναι
διηγήματι οὐδὲ τὰς τῶν ἀγαθῶν μνήμας τῇ τῶν ἐναντίων παραθέσει μιαίνειν.
ἀπαρκεῖ δὲ ἡ τῶν ἔργων πεῖρα πρὸς σωφρονισμὸν τῶν αὐταῖς ὄψεσι καὶ
ἀκοαῖς τὴν τῶν ἑκάστῳ συμβεβηκότων παρειληφότων ἱστορίαν.

Οὕτω δὴ Κωνσταντῖνον, τοιούτου φύντα πατρός, ἄρχοντα καὶ καθηγεμόνα 24
τῶν ὅλων θεὸς ὁ τοῦ σύμπαντος κόσμου πρύτανις δι' ἑαυτοῦ προεχειρίζετο,
ὡς μηδένα ἀνθρώπων μόνου τοῦδε τὴν προαγωγὴν αὐχῆσαι, τῶν ἄλλων ἐξ
ἐπικρίσεως ἑτέρων τῆς τιμῆς ἠξιωμένων.

*14sq. Am 25. VII. 306 vom Heer zum Augustus ausgerufen 21sqq. cf. p. 44, 11sqq.

***1/2 cf. 1279 (p. 288b,20f.) und 369 (Vindob., f. 26b): 2 sq. cf. Gel. Caes., zitiert in 362 (p. 172, 2–3). cf. 369 (Vindob., f. 26a), z. T. wörtlich 4 (τὸν – βασιλείας) = 369 (Vindob., f. 26a) 14 sq. = 369g (p. 46, 5–7), erweitert 14–19 cf. 1279 (p. 289a, 10–14) 21/22 (τῶν – καταστροφὰς) cf. 369g (p. 46, 8–10)

VJNAB

1 τὴν < V 4 τῇ ἡλικίᾳ Val (ἡλικίᾳ 369g), τὴν ἡλικίαν Mss 5 παραδιδούς J
6 αὕτη V | ἁλουργίδα πατρικὴν V | κωνστάντιος NB¹ 9/10 τὸν – δορυφ. < N¹AB
10 μύρια NAB 11 συνέπεμπεν JNAB 14 βασιλέα < 369g | σεβαστὸν Mss 369g, < Hkl 15 τὸν] τοὺς B | βοαὶ] φωναὶ JNAB 17 ἀποδειχθέντα Hkl, ὑποδειχθέντα Mss 22 πρέπων V¹ (ο s), δέον A 25 παρειληφότα V¹ (ων s)
27 ὁ + α A | προεχειρίσατο N 28 προσαγωγὴν NAB